τε καὶ Πινδάρου, καὶ ἐκ τοῦ βιβλίου δὲ ὃ ἐπιγέγραπται αὐτῷ ʽβασιλέων καὶ στρατηγῶν ἀποφθέγματαʼ, σὺν οἷς καὶ ἐκ τῶν Συμποσιακῶν αὐτοῦ ἀπό τε τοῦ πρώτου καὶ ἐφεξῆς μέχρι τοῦ ὀγδόου. καὶ ἀπὸ μὲν τῶν Πλουτάρχου ἐκ τούτων . . . ὁ δέκατος δὲ συνηθροίσθη . . . ἔκ τε τῶν Πλουτάρχου περὶ βίων Νικίου καὶ Ἀλκιβιάδου Θεμιστοκλέους τε καὶ Θησέως καὶ Λυκούργου Σόλωνός τε καὶ Ἀλεξάνδρου τοῦ Φιλίππου, ἔκ τε τῶν βίων Κίμωνος καὶ Λυσάνδρου Δημοσθένους τε καὶ Περικλέους καὶ Πελοπίδου καὶ Φωκίωνος καὶ Ἀριστείδου . . . ὁ δὲ ἐνδέκατος ἔσχε τὴν συναγωγὴν ὁμοίως ἐξ ὧν Πλούταρχος συνέταξε βίων Ἐπαμεινώνδου καὶ Δίωνος καὶ Ἀγησιλάου καὶ Ἄγιδος καὶ Κλεομένους Εὐμένους τε τοῦ Καρδιανοῦ καὶ Φιλοποίμενος καὶ Τιμολέοντος καὶ Ἀράτου, ὃς δημαγωγὸς καταστὰς τῶν Ἀχαιῶν ἑπτακαιδεκάκις ἐν αὐτοῖς ἐστρατήγησε μεγάλα πράξας στρατηγῶν ἔργα. ναὶ δὴ καὶ ἐκ τοῦ βίου Πύρρου τοῦ Ἠπειρώτου.